σεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ,
17 καὶ ἐνισχύσει κύριος τοὺς υἱοὺς Ισραηλ. [17]καὶ ἐπιγνώσεσθε διότι
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ὁ κατασκηνῶν ἐν Σιων ἐν ὄρει ἁγίῳ μου·
καὶ ἔσται Ιερουσαλημ πόλις ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται
18 δι' αὐτῆς οὐκέτι. [18]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ
ὄρη γλυκασμόν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφ-
έσεις Ιουδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται
19 καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων. [19]Αἴγυπτος εἰς ἀφανισμὸν
ἔσται, καὶ ἡ Ιδουμαία εἰς πεδίον ἀφανισμοῦ ἔσται ἐξ ἀδικιῶν υἱῶν
20 Ιουδα, ἀνθ' ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. [20]ἡ δὲ Ιου-
δαία εἰς τὸν αἰῶνα κατοικηθήσεται καὶ Ιερουσαλημ εἰς γενεὰς γε-
21 νεῶν. [21]καὶ ἐκδικήσω τὸ αἷμα αὐτῶν καὶ οὐ μὴ ἀθῳώσω. καὶ κύ-
ριος κατασκηνώσει ἐν Σιων.

16 κυριος ult. > BSAC† || 17 επιγνωσ. διοτι] γνωσ. οτι S^c LC | εν 2^0 > A | πολις S^c VW†] > rel. || 19 ιδουμαια] ιουδεα S*† || 21 εκδικ. AQW] εκζητησω BSLC

Subscr. ιωηλ δ' BSA: cf. inscr.

## ΑΒΔΙΟΥ

[1]Ὅρασις Αβδιου.

Τάδε λέγει κύριος ὁ θεὸς τῇ Ιδουμαίᾳ Ἀκοὴν ἤκουσα παρὰ κυ-
ρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν Ἀνάστητε καὶ ἐξανα-
2 στῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. [2]ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς
3 ἔθνεσιν, ἠτιμωμένος σὺ εἶ σφόδρα. [3]ὑπερηφανία τῆς καρδίας σου
ἐπῆρέν σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὕψων κατοι-
κίαν αὐτοῦ λέγων ἐν καρδίᾳ αὐτοῦ Τίς με κατάξει ἐπὶ τὴν γῆν;
4 [4]ἐὰν μετεωρισθῇς ὡς ἀετὸς καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς
5 νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει κύριος. [5]εἰ κλέπται εἰσῆλθον
πρὸς σὲ ἢ λῃσταὶ νυκτός, ποῦ ἂν ἀπερρίφης; οὐκ ἂν ἔκλεψαν τὰ
ἱκανὰ ἑαυτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σέ, οὐκ ἂν ὑπελί-
6 ποντο ἐπιφυλλίδα; [6]πῶς ἐξηρευνήθη Ησαυ καὶ κατελήμφθη αὐτοῦ
7 τὰ κεκρυμμένα. [7]ἕως τῶν ὁρίων σου ἐξαπέστειλάν σε πάντες οἱ
ἄνδρες τῆς διαθήκης σου, ἀντέστησάν σοι ἠδυνάσθησαν πρὸς σὲ
ἄνδρες εἰρηνικοί σου, ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστιν σύν-
8 εσις αὐτοῖς. [8]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, ἀπολῶ σοφοὺς ἐκ

Abd.: BSA. — de QWLC cf. Os.

Inscr. αβδ(ε)ιου(B† οβδ.: item in 1) ε' BSA: cf. Os. inscr.

Abd. 3 init.] pr. η S^c L | καρδια] pr. τη A || 4 εαν 2^0 BWLC] > SAQ | αστερων S*† || 5 η] ει A | επιφυλλιδα] -δας BS*(S*† υποφ.) || 6 κατελ(ε)ιφθη SC || 7 σου 1^0 > BSC εστιν] + σοι A† | αυτοις BSW] pr. εν AQ, εν αυτω LC

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/528 UNIVERSITÄT LEIPZIG